πνεῦμα τοῦ ἀνθρώπου τὸ οἰκοῦν ἐν αὐτῷ· οὕτω καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς οἶδεν, εἰ μὴ τὸ πνεῦμα τοῦ Θεοῦ· καὶ πάλιν· οὐδεὶς γινώσκει τὸν πατέρα, εἰ μὴ ὁ υἱός· καὶ οὐδεὶς γινώσκει τὸν υἱόν, εἰ μὴ ὁ πατὴρ καὶ ᾧ ἂν βούληται ὁ υἱὸς ἀποκαλύψαι.

ς' Ἐρ. — Καὶ πῶς φησιν ὁ Χριστός· μὴ καταφρονήσητε ἑνὸς τῶν μικρῶν τούτων· οἱ γὰρ ἄγγελοι αὐτῶν διὰ παντὸς βλέπουσι τὸ πρόσωπον τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς· καὶ πάλιν· μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται· σὺ δὲ λέγεις ὅτι καὶ οἱ ἄγγελοι ἀγνοοῦσιν ὁποῖος καὶ ποῦ ἐστιν ὁ Θεός;

Ἀπ. — Ὥσπερ τοῦ ἡλίου ἐν μεσημβρίᾳ λάμποντος τὸ ἐκπεμπόμενον μὲν ἐξ αὐτοῦ φῶς τρανῶς καθορῶμεν, αὐτὸν δὲ ἐκεῖνον κἂν ποσῶς κατιδεῖν καὶ καταμαθεῖν οὐκ ἰσχύομεν, ὅμως δὲ βλέπειν αὐτὸν ἐπ' ἀληθείας λέγομεν, οὕτω καὶ οἱ ἄγγελοι καὶ οἱ ἅγιοι τὴν ἀπαστράπτουσαν δόξαν καθορῶντες τοῦ πνεύματος, ἐν αὐτῇ καὶ τὸν υἱὸν καὶ τὸν πατέρα ὁρῶσιν· οὐχ οὕτως δὲ οἱ ἁμαρτωλοὶ καὶ ἀκάθαρτοι· ἐκεῖνοι γὰρ τυφλοῖς καὶ ἀναισθήτοις ἐοίκασιν· ὥσπερ γὰρ οἱ τυφλοὶ τὸ φῶς τοῦ αἰσθητοῦ ἡλίου λάμπον οὐ βλέπουσιν, οὕτω δὴ καὶ αὐτοὶ τὸ θεῖον φῶς ἀεὶ φαῖνον οὐ καθορῶσιν, οὔτε μὴν ἐπαισθάνονται τῆς θέρμης αὐτοῦ.

ζ' Ἐρ. — Τί οὖν βλέπουσιν οἱ κεκαθαρμένοι τὸν νοῦν καὶ τὴν καρδίαν;

Ἀπ. — Ἐπειδὴ ὁ Θεὸς φῶς ἐστι καὶ φῶς τὸ ἀκρότατον, ἕτερον οὐδὲν ὁρῶσιν οἱ αὐτὸν βλέποντες, εἰ μὴ φῶς· καὶ τοῦτο δῆλον ἔκ τε τῶν ἰδόντων λάμψαν τὸ πρόσωπον τοῦ Χριστοῦ ὡς τὸν ἥλιον, τὰ δὲ ἱμάτια αὐτοῦ γενόμενα ὡς τὸ φῶς· καὶ ἐκ Παύλου τοῦ ἀποστόλου, φῶς ἰδόντος τὸν Θεὸν καὶ εἰς τὴν αὐτοῦ ἐπίγνωσιν ἐπιστρέψαντος· καὶ ἐκ μυρίων ἑτέρων ἁγίων.